635 L'inizio dell'epitafio pronunciato da Pericle ✱✱✱

Pronunciando l'epitafio per i caduti del primo anno della guerra del Peloponneso, Pericle riassume quali motivi inducano a essere orgogliosi di essere cittadini di Atene.

STO	➜	**Peloponneso, Guerra del**
	➜	**Pericle**
CIV	➜	**epitafio**

Contesto: avvenimenti del 430 a.C.

Particolarità sintattiche: prop. infinitiva, relativa; part. congiunto e sostantivato.

Ἄρξομαι δὲ ἀπὸ τῶν προγόνων[1] πρῶτον· δίκαιον γὰρ αὐτοῖς καὶ πρέπον δὲ ἅμα ἐν τῷ τοιῷδε[2] τὴν τιμὴν ταύτην τῆς μνήμης δίδοσθαι. Τὴν γὰρ χώραν οἱ αὐτοὶ αἰεὶ οἰκοῦντες διαδοχῇ τῶν ἐπιγιγνομένων μέχρι τοῦδε[3] ἐλευθέραν δι' ἀρετὴν παρέδοσαν. Καὶ ἐκεῖνοί τε ἄξιοι ἐπαίνου καὶ ἔτι μᾶλλον οἱ πατέρες ἡμῶν· κτησάμενοι γὰρ πρὸς οἷς ἐδέξαντο ὅσην ἔχομεν ἀρχὴν οὐκ ἀπόνως ἡμῖν τοῖς νῦν προσκατέλιπον. Τὰ δὲ πλείω αὐτῆς αὐτοὶ ἡμεῖς οἵδε οἱ νῦν ἔτι ὄντες μάλιστα ἐν τῇ καθεστηκυίᾳ ἡλικίᾳ ἐπηυξήσαμεν καὶ τὴν πόλιν τοῖς πᾶσι παρεσκευάσαμεν καὶ ἐς πόλεμον καὶ ἐς εἰρήνην αὐταρκεστάτην. Ὧν ἐγὼ τὰ μὲν κατὰ πολέμους ἔργα, οἷς ἕκαστα ἐκτήθη, ἢ εἴ τι αὐτοὶ ἢ οἱ πατέρες ἡμῶν βάρβαρον ἢ Ἕλληνα πολέμιον ἐπιόντα προθύμως ἠμυνάμεθα, μακρηγορεῖν ἐν εἰδόσιν οὐ βουλόμενος ἐάσω· ἀπὸ δὲ οἵας τε ἐπιτηδεύσεως ἤλθομεν ἐπ' αὐτὰ καὶ μεθ' οἵας πολιτείας καὶ τρόπων ἐξ οἵων μεγάλα ἐγένετο, ταῦτα δηλώσας πρῶτον εἶμι καὶ ἐπὶ τὸν τῶνδε ἔπαινον, νομίζων ἐπί τε τῷ παρόντι οὐκ ἂν ἀπρεπῆ λεχθῆναι αὐτὰ καὶ τὸν πάντα ὅμιλον καὶ ἀστῶν καὶ ξένων ξύμφορον εἶναι ἐπακοῦσαι αὐτῶν.

TUCIDIDE

1 τῶν προγόνων: si intende «gli antenati» degli Ateniesi riuniti.
2 ἐν τῷ τοιῷδε: «in questa occasione».
3 μέχρι τοῦδε: «fino a questo momento». L'intera espressione Τὴν γὰρ χώραν οἱ αὐτοὶ αἰεὶ οἰκοῦντες ... μέχρι τοῦδε contiene un riferimento al tema propagandistico della (CIV ➜) autoctonia degli Ateniesi.

Traduzione: .....